Γυ. Εὖγ' ὦ γλυκυτάτη Πραξαγόρα καὶ δεξιῶς.
Πόθεν ὦ τάλαινα ταῦτ' ἔμαθες οὕτω καλῶς;
Πρ. Ἐν ταῖς φυγαῖς μετ' ἀνδρὸς ᾤκησ' ἐν Πυκνί.
Ἔπειτ' ἀκούουσ' ἐξέμαθον τῶν ῥητόρων.
Γυ. Οὐκ ἐτὸς ἄρ' ὦ μέλ' ἦσθα δεινὴ καὶ σοφή.
Καί σε στρατηγὸν αἱ γυναῖκες αὐτόθεν
Αἱρούμεθ', ἢν ταῦθ' ἃ 'πινοεῖς κατεργάσῃ.
Ἀτὰρ ἢν Κέφαλός σοι λοιδορῆται προσφθαρείς,
Πῶς ἀντερεῖς πρὸς αὐτὸν ἐν τῇ 'κκλησίᾳ;
Πρ. Φήσω παραφρονεῖν αὐτόν. Γυ. ἀλλὰ τοῦτό γε
Ἴσασι πάντες. Πρ. ἀλλὰ καὶ μελαγχολᾶν.
Γυ. Καὶ τοῦτ' ἴσασιν. Πρ. ἀλλὰ καὶ τὰ τρύβλια
Κακῶς κεραμεύειν. τὴν δὲ πόλιν εὖ καὶ καλῶς.
Γυ. Τί δ' ἢν Νεοκλείδης ὁ Γλάμων σε λοιδορῇ;
Πρ. τούτῳ μὲν εἶπον ἐς κυνὸς πυγὴν ὁρᾶν.
Γυ. τί δ' ἢν ὑποκρούωσί σε; Πρ. προσκινήσομαι
Ἅτ' οὐκ ἄπειρος οὖσα πολλῶν κρουμάτων.
Γυ. Ἐκεῖνο μόνον ἄσκεπτον, ἤν σε τοξόται
Ἕλκωσιν ὅ,τι δράσεις ποτέ. Πρ. ἐξαγκωνιῶ.
Ὡδί, μέση γὰρ οὐδέποτε ληφθήσομαι.
Γυ. Ἡμεῖς δέ γ' ἢν αἴρωσ', ἐᾶν κελεύσομεν.
Πρ. Ταυτὶ μὲν ἡμῖν ἐντεθύμηται καλῶς.
Γυ. Ἐκεῖνο δ' οὐ πεφροντίκαμεν ὅτῳ τρόπῳ
Τὰς χεῖρας αἴρειν μνημονεύσομεν τότε.
Εἰθισμέναι γὰρ ἐσμὲν αἴρειν τὰ σκέλη.
Πρ. Χαλεπὸν τὸ πρᾶγμ', ὅμως δὲ χειροτονητέον,
Ἐξωμισάσαις τὸν ἕτερον βραχίονα.
Ἄγε νυν ἀναστέλλεσθ' ἄνω τὰ χιτώνια,
Ὑποδεῖσθε δ' ὡς τάχιστα τὰς Λακωνικάς.
Ὥσπερ τὸν ἄνδρα θεᾶσθ', ὅτ' εἰς ἐκκλησίαν
Μέλλοι βαδίζειν ἢ θύραζ' ἑκάστοτε.
Ἔπειτ' ἐπειδὰν ταῦτα πάντ' ἔχῃ καλῶς,
Περιδεῖσθε τοὺς πώγωνας. ἡνίκ' ἂν δέ γε
Τούτους ἀκριβώσητε περιηρμοσμέναι

A MVL. *Bene ô dulcissima Praxagora, & aptè.*
*Vnde ô misera hæc didicisti sic bene?*
PRA. *In Phygis cum viro habitaui in Pycni.*
*Postea audiens, ex didici rhetoribus.*
MVL. *Non incassum ô misera os eloquens & sapiens,*
*Et te ducem mulieres illinc*
*Eligimus, si hæc quæ cogitas facies.*
B *Sed si Cephalus tibi nugatur corruptus,*
*Quomodo contradices ad ipsum in concione?*
PRA. *Dicam desipiscere ipsum.* MVL. *sed hoc*
*Sciunt omnes.* PRA. *sed & furere.*
MVL. *Et hoc sciunt.* PRA. *sed & scutellas*
*Malè fingere, hanc autem ciuitatem bene & pulchre.*
C MVL. *Quid si Neoclides Glamon te mordet?*
PRA. *Huic quidem dixi in canis culum videre.*
*MVL. Quid autem si verberabunt te? PRA. Admouebor,*
*Tamen non inexperta existens multorum verberum.*
*MVL. Illud solum inconsideratum, si tibi sagittarij*
D *Trahent, quicquid facies aliquando. PRA. explicabo*
*Sic, media enim nunquam capiar.*
*MVL. Nos autem si eleuant, sinere iubebimus.*
*PRA. Hæc quidem nobis memorata sunt bene.*
*MVL. Illud autem non considerabimus, quomodo*
*Manus eleuare meminerimus tunc,*
E *Consueta enim sumus extollere crura.*
*PRA. Difficilis res, tamen autem consentiendum*
*Extollentibus alterum brachium.*
*Age nunc trahite supra vestes,*
*Subligate quàm citissimè Laconicas,*
*Quemadmodum virum videtis, quando in concilium*
*Vult ire, vel foras semper:*
F *Posteaquam hæc omnia habeas bene,*
*Induimini barba, quando*
*Hæc feceritis circumaptatæ.*

Σχόλια. Ἐν Πυκνί.] ἀντὶ τοῦ ἐν τῇ ἐκκλησίᾳ. ὡς ἀποκεκρυμμένων ἐκείνων τῶν μερῶν καὶ δυναμένων ἐκεῖ κρύπτεσθαι ἐπὶ τῆς φυγῆς τῶν τριάκοντα. Ὦ μέλ' ἦσθα.] παρέλκει τὸ μέλε. Αὐτόθεν.] ἀπὸ τοῦ παρόντος χρόνου. Κέφαλός σοι] δημαγωγὸς οὗτος ἕτερος οὐχ ὃν λέγει Δημοσθένης ἀλλὰ λοίδορος. Τρύβλια] εἶδος ὀξυβάφου τὸ τρύβλιον. Κεραμεύειν] ἀπὸ κοινοῦ τὸ κεραμεύειν. ἀντὶ τοῦ κατεργάζεσθαι. ἦν γὰρ κεραμέως πατρὸς ὁ Κέφαλος. ἐλέγετο δὲ κεραμεύειν, καὶ τὸ κακῶς ποιεῖν τὰ κοινά. Νεοκλείδης ὁ γλάμων] ὁ ἔχων τοὺς ὀφθαλμοὺς μεστοὺς ἀκαθαρσίας. ὁ λημῶν. ἐκωμῳδεῖτο δέ, ὡς συκοφάντης καὶ ξένος καὶ κλέπτης. Ἐς κυνὸς πυγήν] παροιμία. ἐς κυνὸς πυγὴν ὁρᾶν καὶ τριῶν ἀλωπέκων. λέγεται δὲ ἐπὶ τῶν ὀφθαλμιώντων. Ὑποκρούωσί σε.] ὑποβάλλωσί σε. λαμβάνωνταί σου. Πολλῶν κρουμάτων] ἔπαιξε παρὰ τὴν ὁμωνυμίαν τῆς συνουσίας. Ἐξαγκωνιῶ] τοὺς ἀγκῶνας ὑπὸ G ταῖς πλευραῖς ποιήσω. οὐδέποτε γὰρ οὕτω μέση ληφθήσομαι. ἄλλως. παραδηλώσω ἵνα τῶν χειρῶν ἕλκῃ με καὶ μὴ μέσην ἄρας με, γνῶ ὅτι γυνή εἰμι ἐκ τῶν τιτθίων. Τὰς χεῖρας αἴρειν] ὥσπερ οἱ ῥήτορες οἱ κρινόμενοι. Ἐξωμισάσαις] ἄχρι τῶν ὤμων γυμνωθείσαις. Ὑποδεῖσθε] ὑποδεσμεύσατε.